Adolf Kaegi

# Griechisches -bungsbuch

## Für alle Staaten und L◌nder ausser Preussen

Unter Mitwirkung von Eugen Staiger

neu bearbeitet von

Karl Wyss

Erster Teil

## Formenlehre

Τὰ κάτωθεν ἰσχυρότατ᾽ εἶναι δεῖ

Zweite Auflage

1932

Weidmannsche Buchhandlung / Berlin

### **11.** Maskulina der A-Deklination. Gr. § 29.

1. οἱ τοξόται μάλιστα ξένοι ἦσαν. 2. ἐχθαίρουσιν οἱ στρατιῶται τοὺς προδότας. 3. οἱ Πέρσαι πολλάκις δεσπόται τῆς θαλάττης ἦσαν. 4. οἱ οἰκέται τοὺς τῶν δεσποτῶν ἀγροὺς θεραπεύουσιν. 5. ἐν τῇ ἐν ταῖς Θερμοπύλαις μάχῃ Ἐφιάλτης τοῦ Λεωνίδου καὶ τῶν Σπαρτιατῶν προδότης ἦν. 6. ἡ τῶν Σπαρτιατῶν συμμαχία βλάβην φέρει τοῖς Πέρσαις. 7. ὁ διδάσκαλος τοὺς μαθητὰς παιδεύει. 8. μὴ δειμαίνετε, ὦ νεανίαι, τοὺς τῆς στρατείας πόνους καὶ σῴζετε τὴν πατρίαν ἀνδρείᾳ καὶ ὁμονοίᾳ. 9. Δαρεῖος μετὰ Καμβύσην Περσῶν δεσπότης ἦν. 10. ἡ τοῦ Ξέρξου στρατεία τοῖς μὲν Πέρσαις ἀτυχίαν καὶ αἰσχύνην φέρει, τοῖς δὲ Ἀθηναίοις δόξαν καὶ εὐτυχίαν. 11. ἐν τῇ τῶν πολιτῶν εὐσεβείᾳ καὶ ἐν τῇ τῶν στρατιωτῶν ἀνδρείᾳ καὶ ἐν τῇ τῶν δικαστῶν δικαιοσύνῃ ἡ τῆς πολιτείας ῥώμη ἐστίν. 12. Λυκοῦργος νομοθέτης τῶν Σπαρτιατῶν λέγεται. 13. σῷζε, ὦ Ἐπαμεινώνδα, τὴν πολιτείαν.

### **Adjektive und Pronomen der O- und A-Deklination.** Gr. § 32.

### **12.** Oxytona, Properispomena und Paroxytona mit Femininum auf -η. Gr. § 32, 1. 2.

1. χρηστῶν δεσποτῶν δοῦλοι χρηστοί. 2. ἄνευ θεῶν τοῖς θνητοῖς ἀνθρώποις οὔτε κακὰ γίγνεται οὔτε καλά. 3. καλὰ δένδρα καλοὺς φέρει καρπούς. 4. αἱ εἴσοδοι αἱ ἐκ τῆς Βοιωτίας εἰς τὴν Ἀττικὴν στεναὶ ἦσαν. 5. σῴζονται σὺν τοῖς θεοῖς καὶ ἐκ δεινῶν κινδύνων οἱ ἀγαθοί. 6. χρηστὸν φίλον λέγομεν λύπης ἰατρόν. 7. σῴζετε, ὦ θεοί, ἐκ τῶν δεινῶν κινδύνων τοὺς ναύτας, ὑμῖν γὰρ δυνατόν ἐστιν. 8. ἐν μέσῃ τῇ τῶν Περσῶν στρατιᾷ Κῦρος ἦν.

9. κακὸν φέρουσι καρπὸν οἱ κακοὶ φίλοι.

### **13.** Oxytona, Properispomena und Paroxytona mit Femininum auf -α. Gr. § 32, 1. 2.

1. λαμπρὰ ἦν ἐν ταῖς Θερμοπύλαις μάχη. 2. θεὸς γιγ
νώσκει τὰ τῶν ἀνθρώπων ἔργα, τά τε πονηρὰ καὶ τὰ ἀγαθά
. 3. οἱ σοφοὶ τὸν ἄνθρωπον μικρὸν κόσμον ἐν τῷ μακρῷ κόσ
μῳ λέγουσιν. 4. φεῦγε τὴν τῶν κακῶν φιλίαν καὶ τὴν τῶν ἀ
γαθῶν ἔχθραν. 5. τῇ ἰσχυρᾷ τῶν ἀνέμων βίᾳ ἡ θεὰ τὴν στρ
ατιὰν κωλύει. 6. ἐν τοῖς ἱεροῖς καὶ παρὰ τοῖς βωμοῖς θεία
σωτηρία γίγνεται τοῖς ἱκέταις. 7. τύραννοι ἀεὶ ἐχθροὶ τῇ
τῶν πολιτῶν ἐλευθερίᾳ καὶ τοῖς νόμοις ἐναντίοι. 8. διὰ χώ
ρας μεστῆς παντοίας τροφῆς πορεύονται.

9. ἄγει τὸ θεῖον τοὺς κακοὺς πρὸς τὴν δίκην.

### **14.** Proparoxytona. Gr. § 32, 1. 2.

1. τὰ δίκαια ἀεὶ καλά ἐστιν. 2. ἡ φιλία ὁμόνοιά ἐστι
ν ἐν τοῖς καλοῖς καὶ δικαίοις. 3. ἰδίας νόμιζε τὰς τῶν φίλ
ων συμφοράς. 4. πολλάκις οἱ ἄνθρωποι αἴτιοί εἰσι τῶν συμ
φορῶν, οὐχ ἡ τύχη. 5. μὴ ἔχθαιρε τὰ ἀλλότρια, μηδὲ τὰ ἴδι
α ἄγαν θαύμαζε. 6. Πεισίστρατος ὁ τῶν Ἀθηναίων τύρανν
ος παντοίων ἀγαθῶν τοῖς πολίταις αἴτιος ἦν.

7. ἀεὶ γὰρ τὸν ὅμοιον ἄγει θεὸς ὡς τὸν ὅμοιον.

8. ἔργῳ δικαίῳ καὶ θεὸς συλλαμβάνει.

### **15.** Adjektive zweier Endungen. Gr. § 32, 3.

1. ἄλυπον βίον οἱ θεοὶ μόνοι ἄγουσιν. 2. φεῦγε τὰς ἀ
πίστους φιλίας. 3. βλάβαι τοὺς ἀνοήτους παιδεύουσιν. 4. ἡ
τῶν ἀνδρείων δόξα ἀθάνατός ἐστιν. 5. ἡ τοῦ σοφοῦ ψυχὴ
ἥσυχός ἐστιν ἐν ταῖς τοῦ βίου συμφοραῖς. 6. ἀνάριθμα ἀγα
θά, ὦ θεοί, παρέχετε τοῖς ἀνθρώποις. 7. ἡ ἐν ταῖς μάχαις
τελευτὴ τοῖς Σπαρτιάταις ἔνδοξος καὶ ἔντιμος ἦν. 8. ἀνά
ξιοί εἰσιν φρονίμων ἀνθρώπων αἱ τῶν ἀγρίων θερίων ἐπιθυμ
ίαι. 9. ἄδηλα τὰ τοῦ πολέμου.

10. ὅπου ἐστὶν ἔργων καιρός, ἄχρηστοι λόγοι.

### **16.** Adjektive zweier und dreier Endungen. Gr. § 32, 4. Pronomina possessiva. — Regel 46.

1. ἄδικος πλοῦτος οὔποτε βέβαιος. 2. τοῖς σοῖς πρᾴο
ις λόγοις οἱ ἡμέτεροι ἐχθροὶ πραΰνονται[1]. 3. μὴ ἐν πολλοῖς
ὀλίγα λέγε, ἀλλ᾽ ἐν ὀλίγοις πολλά. 4. μὴ μάχεσθε τοῖς ὑμ
ετέροις συμμάχοις. 5. πείθου τῇ ἡμετέρᾳ ὠφελίμη βουλῇ.
6. ἡ στρατιὰ διὰ τῆς ἡμετέρας χώρας πορεύεται. 7. ἄλλοι

---

[1] mitigo, lenio

δῆμοι ἄλλους[2] θεοὺς θεραπεύουσιν. 8. ἐν καιρῷ τὰ ὑμέτερα
πλοῖα εἰς τὴν ἔρημον νῆσον σῴζετε. 9. πολλοὶ τῶν πολεμίω
ν τὴν σὴν ἀρετὴν θαυμάζουσιν, ὦ Λεωνίδα. 10. παρὰ τῶν θ
εῶν γίγνεται ἀνθρώποις τὰ τε καλὰ καὶ τὰ κακά. 11. μὴ π
αρὰ τοὺς νόμους λέγετε.

**17.** Imperf. des Akt. un Medio=Pass.; syllabisches Augment.
Gr. § 72, 1.2. u. 77. — Regeln 49-51.

1. οἱ Πέρσαι τὰ τέκνα εἰς ἀλήθειαν ἐπαίδευον. 2. ἐπί
στευον οἱ σύμμαχοι τοῖς Ἀριστείδου λόγοις. 3. οἱ Σπαρτι
ᾶται τοῖς Λεικούργου νόμοις ἐπείθοντο. 4. καὶ ἡ Αἴγυπτο
ς τῷ τῶν Περσῶν δυνάστῃ ἐδούλευεν. 5. οἱ ἡμέτεροι στρατ
ηγοὶ τοὺς στρατιώτας ἐκέλευον διώκειν τοὺς πολεμίους. 6.
οἱ παλαιοὶ τοῖς θεοῖς ἐν τοῖς βωμοῖς παντοῖα θηρία ἔθυον.
7. οἱ τῶν Περσῶν υἱοὶ ἐν τοῖς κοινοῖς τῆς δικαιοσύνης δι
δασκαλείοις ἐπαιδεύοντο. 8. οἱ Ἀθηναῖοι πολλάκις ὑπὲρ δό
ξης καὶ ἐλευθερίας ἐστράτευον καὶ ἐκινδύνευον. 9. μετὰ τὸ
ν Κύρου ἐν τῇ μάχῃ θάνατον ἡ Ἑλληνικὴ στρατιὰ ουτ' ἐπο
ρεύετο ουτ' ἐστρατοπεδεύετο σὺν τοῖς βαρβάροις. 10. ἐν Ἀ
θήναις οἱ πολῖται ἐν ταῖς ἐκκλησίαις ἐβούλευον καὶ ἐδίκαζ
ον. 11. ὅλη ἡ ἐκκλησία περὶ τῆς πορείας ἐβουλεύετο.

**18.** αὐτός, ἄλλος, ἀλλήλων.
Gr. § 61, 2. § 62.

1. ἄλλοις ἄλλα φίλα ἐστίν· τοὺς δὲ ἀγαθοὺς τὰ ἀγαθ
ὰ εὐφραίνει. 2. ὀλίγοι τῶν ἀνθρώπων ἐν εὐτυχίᾳ καὶ ἐν ἀτυ
χίᾳ οἱ αὐτοί εἰσιν. 3. μετὰ τὸν Ἀλεξάνδρου θάνατον οἱ στρ
ατηγοὶ αὐτοῦ ἀλλήλοις πολέμιοι ἦσαν. 4. τοῖς ἀδελφοῖς οὐ
κ ἀεὶ οἱ αὐτοὶ τρόποι εἰσίν. 5. ὁ Ἀθρείδης αὐτὸς τὴν Ἰφιγ
ένειαν ἐν τῷ βωμῷ ἔθυεν. 6. κακοὶ ἄνθρωποι οὔτε ἀλλήλοις
οὔτε ἄλλοις πιστοί. 7. ὁ προδότης ἄτιμός ἐστιν, αὐτός τε
καὶ οἱ υἱοί. 8. οὐκ ἐβούλοντο αὐτοὶ οἱ θεοὶ Ξέρξην τῆς Ἀσί
ας τε ἄρχειν καὶ τῆς Εὐρώπης. 9. ἔλυον τὰς πρὸς ἀλλήλου
ς ἔχθρας. 10. τῶν μὲν στρατηγῶν ἄλλοι ἄλλους λόγους ἔλε
γον, ὁ δὲ Ξενοφῶν ἔσῳζε τὴν στρατιάν. 11. συστρατεύοντα
ι οἱ στρατιῶται τοῖς βαρβάροις, ἀλλ' οὐ πιστεύουσιν αὐτοῖ
ς. 12. Ἀρταξέρξης μεταπέμπεται Τισσαφέρνην καὶ συμβουλ
εύεται αὐτῷ.

**19.** ὅδε, ἐκεῖνος, ὅς.
Gr. § 65, 1.3.4. § 66. 1.3. — Regel 57.

1. ἃ ἔχεις, παρὰ θεοῦ ἔχεις. 2. τὸ αὐτό, ὃ ἄλλοις φί
λον ἐστίν, ἄλλοις ἐχθρόν. 3. ὅδε νόμος περὶ ἀνθρώπων ἐστί
ν· ὁ θάνατος πᾶσι κοινός. 4. ἐν τῇδε τῇ χώρᾳ ἀνάριθμα τ
ὰ τῶν θεῶν δῶρά ἐστιν. 5. γιγνώσκομεν Ἐφιάλτην ἐκεῖνον,

[2] allii alios

ὁς Σπαρτιάτης Σπαρτιατῶν προδότης ἦν. 6. οἱ Ἀχαιοὶ ἐκεῖνο τὸ τόξον ἐθαύμαζον, ᾧ Φιλοκτήτης ἐν τῇ Τροίᾳ ἐμάχετο. 7. γυμνάζετε τὰ τέκνα καὶ προσέχετε τὰς ψυχὰς αὐτῶν τῷ καλῷ. 8. προσάγετε τὰ θηρία. 9. Νέστωρ τῶν ἄλλων στρατηγῶν διαφέρει γνώμῃ καὶ λόγῳ. 10. ἐν τῇ Φρυγίᾳ Κύρῳ βασίλεια ἦν καὶ παράδεισος θηρίων πολλῶν καὶ ἀγρίων μεστός, οὗ Κυρος πολλάκις ἐθήρευεν ἀφ' ἵππου καὶ τοὺς ἵππους ἐγύμναζεν.

**Kontrakta der O- und A-Deklination.** Gr. §§ 30. 33. 34.

**20.**

1. ἔνδοξός ἐστιν ἐκεῖνος ὁ τῶν Ἀργοναυτῶν πλοῦς, ὁς ἦν ἐξ Ἰωλκοῦ εἰς τὸν Εὔξεινον Πόντον. 2. ὁ θάνατος χαλκοῦς ὕπνος λέγεται. 3. οἱ Πέρσαι τῷ ἡλίῳ καὶ τῇ σελήνῃ καὶ τῇ γῇ καὶ τοῖς ἀνέμοις ἔθυον. 4. οὐ λόγοις, ἀλλὰ βλάβαις παιδεύονται οἱ ἄνοι. 5. πολλάκις ἀνθρώπων νοῦν ὀργὴ ἐκκαλύπτει. 6. ἐν τῇ Ἀθηνῶν ἀγορᾷ πολλοὶ Ἑρμαῖ ἦσαν. 7. ὁ Σικελίας τοῦ νήσου περιπλοῦς ὀκτὼ ἡμερῶν ἦν. 8. οἱ ἀγαθοὶ πολῖται προσέχουσι τὸν νοῦν τῷ κοινῷ ἀγαθῷ. 9. αἱ τῶν νεκρῶν ψυχαὶ ὑφ' Ἑρμοῦ εἰς Ἅιδου πέμπονται. 10. ἡ βασίλεια αὐτὴ τῇ θεᾷ χρυσοῦν στέφανον καὶ πορφυροῦν ἱμάτιον ἔφερεν. 11. πρὸς τοῖς νεκρῶν ὀστοῖς ἐν τοῖς τῶν Σκυτῶν τάφοις ἀργυροῖ στέφανοι καὶ σιδηρᾶ ὅπλα ἐστίν.

**21.**

**Von den Perserkriegen.**

Δαρεῖος ὁ τῶν Περσῶν δυνάστης

**Dritte Deklination.**

**Konsonantenstaemme.**

**22.** Staemme auf -ρ und -λ. Gr. § 36, 3.6. § 37.

1. ἐν Ἀθήνας ἦσαν πολλοὶ καὶ ἔνδοξοι ῥήτορες. 2. οἱ ἅλες καὶ ἀνθρώποις καὶ θηρσὶν ἀναγκαῖοί εἰσιν. 3. τόνδε τὸν οἶνον, ὃς ἐκ Νάξου τῆς νήσου ἐστίν, δικαίως νέκταρι εἰκάζομεν. 4. τὸν οὐρανὸν οἱ ποιηταὶ αἰθέρα ὀνομάζουσιν. 5. θύετε, ὦ ναῦται τοῖς Διοσκόροις, τοῖς ὑμετέροις σωτῆρσιν. 6. οἱ τῶν πολεμίων τοξόται τὸν ἡμέτερον στρατηγὸν παρὰ τῷ ζωστῆρι ἐτίτρωσκον. 7. τοῖς Νέστορος λόγοις στρατιῶται καὶ στρατηγοὶ μᾶλλον ἢ ἄλλων ἐπείθοντο, νέοι τε καὶ γεραιοί. 8. ἄξιοι γένεσθε, ὦ στρατιῶται, τῆς δόξης καὶ τῆς ἐλευθερίας τῆς τῶν ὑμετέρων προπατόρων. 9. αἱ τῶν θεῶν οἰκίαι ὑπὲρ τοῦ ἀέρος ἐν τῷ αἰθέρι εἶναι λέγονται. 10. ἐν τῷ ἐν Δελφοῖς ἱερῷ χρυσοῖ καὶ ἀργυροῖ κρατῆρες ἦσαν. 11. ὁ ῥήτων ἔλεγεν τοῖς Ἀθηναίοις τὸν Φίλιππον αὐ

τοῖς ἐπιβουλεύειν.

### **23.** Guttural= und Labialstaemme. Gr. § 38.

1. Πανταχοῦ οἱ κήρυκες τίμιοί εἰσιν. 2. οἱ Θρᾷκες ἄγ
ριοι καὶ πολεμικοὶ ἦσαν. 3. ἔνδοξοι ἦσαν οἱ τῶν Φοινίκων
πλοῖ. 4. ἐν τῇ τῶν Κυκλώπων νήσῳ αἶγες ἦσαν πολλαὶ καὶ
πολλὰ ἄλλα πρόβατα. 5. Ξέρξης μάστιξιν ἐκέλευε κολάζειν
τὴν θάλατταν. 6. οἱ ὁπλῖται διὰ τῶν θωράκων ἐτιτρώσκοντο
. 7. Ὅμηρος τὴν τῶν Φαιάκων καὶ τῶν Αἰθιόπων εὐδαιμονί
αν ἐγκωμιάζει[3]. 8. οἱ Ἀθηναῖοι τὴν ἐν Ἀρείῳ πάγῳ βουλὴ
ν ἐθεράπευον ὡς φύλακα νόμων. 9. ἐν τῇ Ξέρξου στρατιᾷ ἦ
σαν Πέρσαι καὶ Μῆδοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες καὶ Ἄ
ραβες καὶ Ἰνδοὶ καὶ Φοίνικες καὶ Κίλικες καὶ Φρύγες καὶ
Κᾶρες καὶ ἄλλα φῦλα πολλά. 10. ἄλλοι τρόποι ἦσαν τοῖς Κύ
κλωψιν ἢ τοῖς Φαίαξιν.

### **24.** Dentalstaemme: Maskulina und Feminina. Gr. § 39, 1.2. —R.31.

1. αἱ ἔλαφοι τῆς Ἀρτέμιδος ἦσαν ἱεραί. 2. αἱ παρθέ
νοι πολλάκις ταῖς Χάρισιν ἔθυον. 3. ἐν τοῖς Κρησὶν ἦσαν ἀ
γαθοὶ τοξόται. 4. αἱ ὑψηλαὶ τῶν Αἰγυπτίων πυραμίδες θαυ
μάσιαί εἰσιν. 5. χάρις μὲν χάριν τίκτει, ἔρις δ' ἔριν. 6. ὁ
στρατηγὸς τὴν ἐλπίδα νίκης ἐν τῇ τῶν στρατιωτῶν ἀνδρε
ίᾳ ἔχει. 7. ὁ ἀνθρώπινος βίος μεστός ἐστι φροντίδων ἀπὸ
νεότητος μέχρι θανάτου. 8. χρηστοὶ πολῖται ἄσμενοι ὑπὲρ
τῆς πατρίδος μάχονται καὶ ἐν πατρίδι γῇ θάπτεσθαι χρῄζο
υσιν. 9. οἱ τῆς Λιβύης νομάδες τὸν χρόνον οὐ ταῖς ἡμέρα
ις, ἀλλὰ ταῖς νυξὶν ὁρίζουσιν. 10. τήνδε τὴν ἀρχὴν τυραννί
δα εἶναι νομίζετε.

11.ἐν νυκτὶ βουλὴ τοῖς σοφοῖσι γίγνεται.

### **25.** Dentalstaemme: Neutra und unregelmaessige Bildungen. Gr. § 39, 3. 4.

1. τρέφεται ἡ ψυχὴ μαθήμασιν. 2. οἱ παλαιοὶ τοῖς ν
εκροῖς οἴνῳ καὶ γάλακτι καὶ ὕδατι ἔσπευδον. 3. οἱ φυγάδες
ἐν τῇ πατρίδι εἶναι χρῄζουσιν. 4. πολλοῖς θηρσὶν ἐν τοῖς
ποσίν ἐστι ἡ σωτηρία. 5. πρόσθια[4] τραύματα τοῖς στρατιώ
ταις τίμιον κτῆμά ἐστιν. 6. ὁ Ἅιδης κοινός ἐστιν τοῖς τε
πλουσίοις καὶ τοῖς πένησιν. 7. Κῦρος τὸ Ἑλληνικὸν στράτ
ευμα ἀφ' ἅρματος ἐθεώρει. 8. Λυκοῦργος τοὺς Σπαρτιάτας
χρυσᾶ καὶ ἀργυρᾶ νομίσματα ἔχειν ἐκώλυεν. 9. οὐ τὰ τοῦ
σώματος, ἀλλὰ τὰ τῆς ψυχῆς χρήματά ἐστι κτῆμα εἰς τὸ
ἀεί. 10. τὸ Περσικὸν στράτευμα, ᾧ οἱ Ἕλληνες συστρατεύ
οντο, δειλὸν ἦν.

---

[3] preist,laudat

[4] vulnera adversa

## **26.** Staemme auf -ν. Gr. § 40, 1. 2.

1. ἄσμενοι ἕπεσθε τοῖς ἡγεμόσιν, οὓς αὐτοὶ τοῦ στρ ατεύματος ἄρχειν ἐκελεύετε. 2. οἱ Αἰθίοπες μέλανές εἰσιν. 3. οἱ ποιμένες τὰ πρόβατα καὶ τὰς αἶγας εἰς τοὺς λειμῶν ας ἄγουσιν. 4. μετὰ τὴν ἐν Μαραθῶνι μάχην οἱ Ἀθηναῖοι τὸν Πᾶνα ἐθεράπευον ὡς εὐεργέτην καὶ σωτῆρα. 5. χειμῶνο ς πολλὰ ὕδατα γίγνεται. 6. εὔχεσθε τοῖς τῆς χθονὸς δαίμο σιν, ὧν τῇ βοηθείᾳ οἱ τῶν ἀγρῶν καρποὶ αὐξάνονται. 7. τοῖ ς μὲν σώφροσιν ὁ θεὸς νόμος ἐστίν, τοῖς δ' ἄφροσιν ἡ ἀεὶ γνώμη. 8. ἐν πολλοῖς καὶ δεινοῖς ἀγῶσιν οἱ Ἀθηναῖοι πο λλῶν ἀγαθῶν αἴτιοι ἐγίγνοντο τοῖς Ἕλλησιν. 9. ἐξ αἰῶνος εἰς αἰῶνα βασιλεύει θεὸς ἐν τοῖς οὐρανοῖς.

## **27.** Pronomen interrogativum. Gr. § 67, 1.

1. τίς ἐστιν ὁ τῶν θεῶν ἄγγελος, ὃς τοὺς λόγους αὐ τῶν τοῖς ἀνθρώποις προσφέρει; 2. Ἑρμῆς ἐστιν ὁ θεῖος κή ρυξ. 3. τίνα θεὰν κελεύει ὁ Ἑρμῆς Ὀδυσσέα, ὃς ἐν τῇ νήσ ῳ αὐτῆς διατρίβει, εἰς τὴν πατρίδα πέμπειν. 4. τῇ Καλυψο ῖ οἱ θεοὶ τῆς πικρᾶς τύχης αἴτιοι γίγνονται. 5. ἡ δὲ Καλυψ ὼ μάλα χαλεπαίνει. 6. τίς ἐστιν ὁ ὑμέτερος τρόπος, ὦ θε οί; στερεοί τε καὶ σκληροί ἐστε ὥσπερ ἡ θάλαττα καὶ αἱ π έτραι. 7. τίνας ὑμῶν οὐ θεραπεύω, οἳ τηλοῦ τὸν βίον διάγε τε ἐν τῷ Ὀλύμπῳ; 8. ἀλλὰ θυμὸν ἔχετε φθονερὸν καὶ οὐ πι στόν. 9. τί κιδυνεύει ἔτι ὁ Ὀδυσσεὺς ἐν τῇ ὑγρᾷ ὁδῷ; 10. οὔτε γὰρ πλοῖέν ἐστιν αὐτῷ οὔτε εταῖροι. 11. ἀλλ' ὁ Ἑρμῆ ς λέγει· Πείθου τῇ τοῦ Διὸς βουλῇ· τίς γὰρ τὴν ὀργὴν αὐτ οῦ φεύγει;

## **28.** Pronomen indefinitum. Gr. § 67, 2.

1. Αἰγύπτιός τις δεσπότης βούλεται γιγνώσκειν, τίς ἐστιν ἡ ἀρχαιοτάτη γλῶττα. 2. δύο οὖν τέκνα εἰς οἰκίαν τ ινὰ ἐρήμην εἰσφέρει. 3. ἐνταῦθα δοῦλός τις μόνος αὐτοὺς τ ρέφει τε καὶ θεραπεύει σιγῇ. 4. μετὰ χρόνον τινὰ αὐτὸς ὁ δεσπότης ἥκει ἀκουσόμενος, τί τὰ τέκνα λέγει. 5. καὶ ὁ δοῦλος, Λόγον τινά, ἔφη, ὃν οὐ γιγνώσκω, ἀεὶ λέγει τὰ τέκ να, βεκός. 6. τοῦτον δὲ τὸν λόγον Φρύγες τινὲς ἀκούουσιν καὶ γιγνώσκουσι Φρύγιον ὄντα. 7.Ἑλληνιστὶ δέ ἐστιν ἄρτο ς. 8. καὶ οὕτως ὁ Αἰγύπτιος νομίζει τὴν Φρυγίαν γλῶτταν ἀρχαιοτάτην εἶναι.

## **29.** Temporales Augment und Augment in den Komposita. Gr. § 72, 3. 4. § 74, 1. 2. §71, 11.

1. ηὔχου. ὕβριζον. ἠγγέλλετε. ἤχθαιρον. ἱδρύοντο. ηὐξ άνου. περιεβλέπετε. εἴκαζες. συνελεγόμεθα. διενέμεσθε. τίν

ι συεβουλεύου; εὔφραινον. ᾐκάζετε.

2. Μεγάβαζος, ὅν Δαρεῖος σατράπην ἔπεμπεν, ἦρχε τῶν Περσῶν τῶν ἐν τῇ Εὐρώπῃ. 3. οἱ Ἀκραγαντῖνοι καὶ Ἵπποις καὶ ὄρνισι μνημεῖα ἵδρυον. 4. ὁ Ἴστρος ποταμὸς πέντε στόμασιν εἰς τὸν Εὔξεινον πόντον εἰσέβαλλεν. 5. τοῖς στρατιώταις χρυσοῖ καὶ ἀργυροῖ ζωστῆρες διενέμοντο ἆθλα. 6. μετὰ τὸν θάνατον αἱ τῶν ἀγαθῶν ψυχαὶ ἐν ταῖς τῶν μακαρῶν νήσοις διῆγον. 7. οἱ Ἕλληνες προὔπεμπον τούς τε ξένους καὶ τοὺς ἱκέτας. 8. πολλάκις οἱ πολῖται ὑπὸ ῥητόρων παρήγοντο. 9. Ἀριστείδης ὑπὸ τῶν Ἀθηναίων Δίκαιος ὢν ομάζετο· διέφερε γὰρ τῶν ἄλλων πολιτῶν τῇ δικαιοσύνῃ καὶ τῇ σωφροσύνῃ καὶ εὐσεβείᾳ. 10. οἱ μὲν Λακεδαιμόνιοι ταῖς ἄσπισι Λάμβδα ἐπέγραφον ὡς ἐπίσημον, οἱ δὲ Μεσσήνιοι Μῦ. 11. οἱ Πέρσαι ἐν ὀλίγῳ χρόνῳ δεσπόται ὅλης τῆς Ἑλλάδος γενήσεσθαι ἤλπιζον. 12. οἱ Ἀθηναῖοι τοῖς Θηβαίοις ἀμαθίαν ὠνείδιζον.

## **30.** Staemme auf -nt.
Gr. § 36, 7b. § 41. – Regel 59b.

1. ἐξ ὀνύχων λέοντα. 2. μὴ πᾶσι πίστευε. 3. ἁπάντων τῶν ἀγαθῶν οἱ θεοὶ αὐτοὶ τοῖς ἀνθρώποις πηγὴ καὶ αἰτία εἰσίν. 4. ἡ σωφρσύνη κόσμος ἐστὶν γέρουσι καὶ νεανίαις. 5. οἱ Ῥωμαῖοι πολλοὺς ἀνδριάντας καὶ λαμπρὰ ἀναθήματα ἐκ τῆς Ἑλλάδος εἰς τὴν Ῥώμην ἦγον. 6. ἡ τοῦ βίου τελετὴ ἅπασιν ἄδηλός ἐστιν. 7. τάδε τὰ ἐν τῇ ἄκρᾳ ἱερὰ καὶ οἵδε οἱ ἀνδριάντες τιμὴν φέρουσι καὶ τῇ ὑμετέρᾳ πατρίδι καὶ πάσῃ τῇ Ἑλλάδι. 8. οἱ Αἰθίοπες τοῖς Πέρσαις χρυσὸν καὶ ἐλέφαντος ὀδόντας ἔφερον δασμόν. 9. ἐμάχοντο οἱ Ἀθηναῖοι τοῖς Πελοποννησίοις πᾶσαν τὴν νύκτα· ἦν γὰρ σελήνη λαμπρά. 10. οἱ μὲν ταῦροι τοῖς κέρασι φοβεροί εἰσιν, οἱ δὲ κάπροι τοῖς ὀδοῦσιν. 11. Αἴαντος τοῦ Τελαμῶνος ἐν Σαλαμῖνι ἱερὸν ἦν καὶ ἀνδριάς. 12. ἅπαντι δήμῳ καὶ παντὶ ἀνθρώπῳ ἴδια κακὰ καὶ ἀγαθά. 13. δεινόν τι πᾶς πόλεμος.

14. καλόν γε καὶ γέρουσι μανθάνειν σοφά.

## **31.** Imperfektische Parzipien v. Aktivs u. Medio=Passivs. Das Partizip im Satzefuege. Gr. § 77. § 36, 7a. § 41, 3. 4. Regeln 35. 59–72.

1. τίς γιγνώσκει πάντα τὰ ἐν τῷ μακρῷ κόσμῳ ὄντα; 2. οἱ μὲν ἄρχοντες τοῦ δήμου ἄρχουσιν, τῶν δ' ἀρχόντων οἱ νόμοι. 3. ἑκόντες τοῖς νόμοις πείθεσθε· τοῖς γὰρ ἄκουσιν ἀνάγκη ἐπιβάλλεται. 4. ἡ γῆ ἑκοῦσα τοῖς ἀνθρώποις τὴν καθ' ἡμέραν τροφὴν παρέχει. 5. Ἀλεξάνδρου βασιλεύοντος ἡ Ἑλλὰς τοῖς Μακεδόσιν ἐδούλευεν. 6. καὶ ἀπόντες καὶ παρόντες πείθεσθε, ὦ υἱοί, τοῖς ἡμετέροις λόγοις. 7. τῶν πολεμίων κωλυόντων ἡ εἴσοδος ἡ εἰς τὴν χώραν αὐτῶν τῇ ἡμετέρᾳ στρατιᾷ ἀδύνατος ἦν. 8. λυθεισῶν τῶν σπονδῶν ὁ πό

λεμος ἦν. 9. γυμναζόμενοι ἰσχυροὶ γιγνόμεθα.
10. φίλους ἔχων νόμιζε θησαυροὺς ἔχειν.
11. φεῦγ᾽ ἡδονὴν φέρουσαν ὕστερον βλάβην.
12. ἀθάνατον ἔχθραν μη φύλαττε θνητὸς ὤν.
13. ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.

## 32. Alexanders Selbstbeherrschung.

1.

## **33.** Liquida Staemme mit mehrstufigem Ablaut. Gr. § 42.

1. πόνος ἐστίν, ὡς λέγουσιν, πάσης δόξης πατήρ. 2. ἐν τῇδε τῇ μάχῃ οἱ ᾿Αθηναῖοι ἄνδρες ἀγαθοὶ γίγνονται κ αὶ σωτῆρες τῆς ῾Ελλάδος. 3. μετὰ τὸν τῆς μητρὸς φόνον ὁ ᾿Ορέστης τοῦ ᾿Αγαμέμνονος υἱὸς ἐκ τῆς πατρίδος ἔφευγο ν. 4. ἐν μὲν τῇ εἰρήνῃ οἱ υἱοὶ τοὺς πατέρας θάπτουσιν, ἐν δὲ τῷ πολεμίῳ οἱ πατέρες τοὺς υἱούς. 5. τῶν ἀνδρῶν ἐν τῷ πεδίῳ μαχομένων αἱ μητέρες ηὔχοντο τῇ ᾿Αθηνᾷ. 6. ἀγαθ ὸς δυνάστης οὐ διαφέρει ἀγαθοῦ πατρός. 7. ἐν τῇ Αἰγύπτῳ πάντα ἰατρῶν ἦν μεστά· οἱ μὲν γὰρ οφθαλμῶν ἦσαν ἰατρο ί, οἱ δὲ κεφαλῆς, οἱ δὲ ὀδόντων, οἱ δὲ γαστρός, οἱ δὲ τῷ ἀ δήλων νόσων. 8. οἱ ῞Ελληνες ἀγαθὰ τέκνα ἔπαινον ἐνόμιζον τῶν πατέρων καὶ ματέρων. 9. οὐ λόγοις τισί, ἀλλὰ παραδε ίγμασι παιδευόμεθα.
10. ἀνδρῶν ἀπίστων ὅρκον εἰς ὕδωρ γράφε.

## Ind., Inf. und Part. des Fut. und Aor. im Aktiv und Medium.

**34.** Verba vocalia: Aktiv. Gr. § 77. Regeln 6–10. 63.

1. μηνύσομεν. ἐφυγάδευσας. ἐτόξευσαν. ἱδρύσατε. πα ύσειν. συνεβούλευσεν. παυσάσας. τί ἤκουσας; φυτεύσετε. ἐ πιβουλεύσεις. ἡλύθησαν. κινδυνεύσοντες. καταλῦσαι. ἐπεβού λευσαν.
2. μετὰ Καμβύσην Δαρεῖος τῶν Περσῶν ἐβασίλευσεν. 3. Διόνυσος τοῖς ἀνθρώποις τὴν ἄμπελον ἐφύτευσεν. 4. τὰ ς τῶν πονηρῶν συνουσίας ὀλίγος χρόνος διαλύσει. 5. Πελο πίδας ὑπὲρ τῆς τῶν Θηβαίων ἐλευθερίας ἐκινδύνευσεν. 6. τ οῖς ἀεὶ ἀληθεύσασι πάντες πιστεύσουσιν. 7. οἱ ῞Ελληνες οἱ ἐν τῇ τοῦ ξυλίνου ἵππου γαστρὶ τοὺς τῶν πολεμίων λόγου ς οὐκ ἄσμενοι ἤκουον· οἱ γὰρ πολλοὶ φθείρειν αὐτὸν ἐκέλευ σαν. 8. Τισσαφέρνης ᾿Αρταξέρξῃ τὴν Κύρου ἐπιβουλὴν ἐμή νυσεν. 9. ἐπεὶ ᾿Αχιλλεὺς ἔμελλε τὸν ᾿Αγαμέμνονα φονεύσε ιν, ἡ ᾿Αθηνᾶ ἧκεν ἀπὸ τοῦ οὐρανοῦ παύσουσα τὴν ὀργὴν τοῦ Μυρμιδόνος.
10. ῞Ελληνες ὄντες βαρβάροις δουλεύσομεν;

## **35.** Verba vocalia: Medium. Gr. § 77.

1. ἱδρύσω. συμβουλευσάμενοι. ἐφυτεύσω. φυτεύσω. συ νεστρατοπεδεύσαντο. στρατεύσασθαι. ἀπελύσασθε.

2. οἱ ᾿Αθηναῖοι καταλυσάμενοι τὸν πόλεμον οὐκ ἐπαύ σαντο ἄρχοντες τῶν ῾Ελλήνων. 3. ἄκοντες οἱ Θηβαῖοι πρὸς τοὺς Πέρσας ἐστρατεύσαντο. 4. οἱ ῞Ελληνες πάσας τὰς ἔ χθρας κατελύσαντο, ἐπεὶ Ξέρξης πρὸς αὐτοὺς ἐπορεύοντο. 5. οὐδέποτε οἱ ἄνθρωποι παύσονται ἁμαρτιῶν καὶ ἀδικίας. 6. Σόλων πολλοὺς τῶν πολιτῶν ἀπέλυσε τῶν τε ὀφειλημάτω ν καὶ τῆς δουλείας. 7. οὐκ ἐπαύσω τῆς ὄργνς; 8. Σωκράτης τρὶς ἐστρατεύσατο, εἰς Ποτείδαιαν καὶ ἐπὶ τὸ Δήλιον καὶ εἰς᾿Αμφίπολιν. 9. πολλοὶ τῶν ἐν Τροίᾳ μαχομένων ᾿Αχαιῶ ν κατὰ τὸν φύσαντα ὠνομάζοντο, ὁ μὲν τοῦ Τελαμῶνος υἱὸ ς Τελαμώνιος, ὁ δὲ τοῦ Πηλέως Πηλείδης ἢ Πηλείων, οἱ δὲ τοῦ Πριάμου ἔκγονοι Πριαμίδαι. 10. φείδεσθε τῶνδε τῶν ἀ νδρῶν· πρῶτοι γὰρ ἐπαύσαντο μαχόμενοι.

**36.** Verba muta. Gr. § 81.

1. ἄξομεν. ἔλεξαν. ἤρξατε. τίνι ἔφῃ; ἔγραψας. ἤρξω. ἄρξειν. λέξαντες. πέμψουσιν. διωξάσῃ.

2.

## Die Sage vom goldenen Vliess.
## 37. Phrixos und Helle.

## 38. Jason und Pelias.

## 39. Jason holt in Kolchis das goldene Vliess.

## S- oder elidierende Staemme.
**40.** Neutra auf –ος. Gr. § 41. 1.

**48.** Gr. § 50, 9-12 u. § 55.

A. 1. μεγάλαι εὐτυχίαι μέγαν τίκτουσι φόβον. 2. μέγα κέρδος ἐν πᾶσίν ἐστιν ἡ ἀλήθεια. 3. τὰ μακρὰ τείχη τὰ ἐκ τοῦ ἄστεως εἰς τὸ ν Πειραιᾶ τετταράκοντα σταδίων ἦν. 4. πάντες οἱ Πέρσαι δοῦλοι τοῦ μεγάλου βασιλέως ἦσαν. 5. πλοῦτος πολὺς πολλοῖς αἴτιος μεγάλων συμ φορῶν ἐστιν. 6. ἀδικίας ἀρχούσης ἡ πόλις οὐ πολὺν χρόνον μένει. 7. κ αὶ ἐν τοῖς ὠσὶ καὶ ἐπὶ τῇ γλώττῃ μεγάλοι εἰσὶν κίνδυνοι τοῖς ἀνθρώπο ις. 8. οὐ βλάπτουσι χεῖρες ἀλλήλας.

9. τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον,
οὐδ᾿ ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει.

## 49. Iphigenie in Aulis.

## Komparation.

**50.** Gr. § 56, 1.2. – Regeln 42. 43.

A. 1. ἐργα λόγων χαλεπώτερα. 2. πάντων ἀπιστότατον ἡ τύχη. 3. οἱ πένητες πολλάκις εὐτυχέστεροι τῶν πλουσίων εἰσίν. 4. οἱ Αἰθίοπες μελάντατοι πάντων τῶν ἀνθρώπων εἰσίν. 5. σύμβουλος ἀγαθὸς χρησιμώτατον ἁπάντων τῶν κτημάτων. 6. πρᾳότατος φίλοις ὢν ὁ Ἀγησίλαος ἐχθροῖς φοβερώτατος ἦν. 7. ἀδελφῶν ὁμόνοια παντὸς τείχους ἰσχυροτέρα ἐστίν. 8. ἡ γῆ μικροτέρα ἢ πολλὰ τῶν λοιπῶν ἄστρων ἐστίν. 9. ξύφους πληγὴ κουφοτέρα ἐστὶν ἢ γλώττης· τὸ μὲν γὰρ σῶμα, ἡ δὲ ψυχὴν τιτρώσκει. 10. τὰ κάτωθεν ἰσχυρότατ᾽ εἶναι δεῖ. 11. ἡ Πυθία Χαιρεφῶντι ἐμαντεύσατο Σωκράτη σοφώτατον πάντων τῶν Ἑλλήνων εἶναι.

12. πασῶν Ἀθῆναι τιμιωτάτη πόλις.

13. νόμιζε μηδὲν μητρὸς εὐμενέστερον.

51.

## 78. ἡ σφραγὶς τοῦ Πολυκράτους.

Πολυκράτης ὁ Αἰάκους τὸ μὲν πρῶτον μετὰ Πανταγνώτου καὶ Συλοσῶντος τῶν ἀδελφῶν τοῦ Σάμου ἦρχεν, ὕστερον τὸν μὲν πρεσβύτερον φονεύσας, τὸν δὲ νεώτερον φυγαδεύσας πάσης τοῦ νήσου ἐκράτησεν· ἔχων δὲ αὐτὴν πρὸς Ἄμασιν τὸν τῆς Αἰγύπτου βασιλέα ξενίαν ἐποιήσατο. Ἐν χρόνῳ δὲ ὀλίγῳ τὰ τοῦ Πολυκράτους πράγματα ηὐξάνετο, καὶ ἧκεν ὁ λόγος περὶ αὐτοῦ εἰς τήν τε Ἰωνίαν καὶ τὴν ἄλλην ῾ελλάδα· ὅτε γὰρ στρατεύσαιτο, πάντα αὐτῷ ἀπέβαινεν εὐτυχῶς. Ἐκέκτητο δὲ πεντηκοντόρους τε καὶ ἑκατὸν καὶ χιλίους τοξότας, καὶ πολλῶν μὲν νήσων ἐκράτησε, πολλῶν δὲ καὶ τῆς ἠπείρου ἄστεως.

Μεγάλως δὲ εὐτυχήσας Ἄμασιν οὐκ ἐλάνθανεν, ὃς γράψας ἐπιστολὴν εἰς Σάμον ἔπεμψε τάδε λέγουσαν·, Αμασις Πολυκράτει ὧδε λέγει· ῾ηδὺ μὲν ἀκοῦσαι ἄνδρα φίλον καὶ ξένον εὖ πράττειν· ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι λογισαμένῳ, ὡς οἱ θεοί εἰσι φθονεροί. Οὐ γὰρ ἔστιν, ὡς ἀκούω καὶ βλέπω, οὐδεὶς ἀνθρώπων, ὃς εὐτυχήσας τὰ πάντα οὐ κακῶς ἐτελεύτησεν. Πείσθητι οὖν ἐμοὶ καὶ ποίησον τάδε· φρόνησον, ὅ τι σοι τῶν κτημάτων πλείστου ἄξιόν ἐστι, καὶ οὗ στερηθεὶς μάλιστ᾽ ἂν λυπηθείης. Τοῦτο, μὴ φθονήσωσι μηδὲ ὀργισθῶσί σοι οἱ θεοί, ἀπόρριψον· μηκέτι εἰς ἀνθρώπους ἡκέτω.

Ἐνθυμηθεὶς ταῦτα ὁ Πολυκράτης ἐνόμισε τιμιώτατον εἶναι κτῆμα σφραγῖδα, ἣν ἔφερε, χρυσόδετον, σμαράγδου λίθου οὖσαν. Καὶ πεντηκόντορον πληρώσας ἀνδρῶν ἀνήχθη εἰς τὴν θάλατταν. Ὡς δὲ μακρὰν ἀπὸ τῆς νήσου ἀπεχώρησε, πάντων βλεπόντων τὴν σφραγῖδα ἀπορρίψας εἰς τὸ βάθος οἴκαδε ἐπανέρχεται.

Μετὰ δὲ ταῦτα πέμπτῃ ἢ ἕκτῃ ἡμέρᾳ ἧκεν ἀνὴρ ἁλιεὺς εἰς τὰ βασίλειαἰχθὺν μεγάλαν τε καὶ καλὸν βουλόμενος δωρήσασθαι τῷ βασιλεῖ. Εἰσαχθεὶς οὖν πρὸς αὐτόν· Ὦ βασιλεῦ, ἔφη, μέγιστον ἰχθὺν σαγηνεύσας οὐκ ἠξίωσα φέρειν εἰ τὴν ἀγοράν, καίπερ τὸν βίον ἀπὸ τῶν χειρῶ

ν ποριζόμενος, ἀλλ᾽ ἐνόμισα σοῦ τε μόνον ἄζιον εἶναι καὶ τῆς σῆς ἀρχῆς· σοὶ οὖν αὐτὸν φέρω. Ὁ δὲ ἡσθεὶς τοῖς λόγοις· Εὖ ἐποίησας, ἔφη, καὶ χάριν διπλῆν ἔχω σοι τῶν τε λόγων καὶ τοῦ δώρου. Καὶ ὁ μὲν χαλιεὺς μετὰ τοῦ βασιλέως ἐπὶ δεῖπνον εἰσήχθη, τὸν δὲ ἰχθὺν τέμνοντες εὑρίσκουσιν οἱ θεράποντες ἐν τῇ γαστρὶ αὐτοῦ τὴν Πολυκράτους σφραγῖδα. Καὶ θαυμάσαντες αὐτίκα ἐκόμισαν τῷ βασιλεῖ, ὁ δὲ θεῖον εἶναι νομίσας τὸ πρᾶγμα πάντα τῷ Ἀμάσιδι ἔγραψεν.

Ὁ δὲ Ἄμασις, δεξάμενος τὴν ἐπιστολήν, ἐπέπειστο, ὅτι ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκκομίσαι ἐκ τῆς μελλούσης συμφορᾶς, καὶ ὅτι οὐκ εὖ τελευτήσειν μέλλοι Πολυκράτης εὐτυχὴς ὢν τὰ πάντα, ὃς καὶ ἃ ἀπορρίψειεν εὑρίσκοι. Πέμψας δὲ αὐτῷ κήρυκα εἰς Σάμον διαλύσασθαι ἔλεχε τήν ξενίαν, Ἶνα μή, ἐάν ποτε δεινῇ καὶ μεγάλῃ συμφορᾷ Πολυκράτης περιπίπτῃ, αὐτὸς τὴν ψυχὴν λυπηθείη ὡς περὶ χένου ἀνδρός.

Οὐ πολλοῖς δ᾽ ἔτεσιν ὕστερον αἱ μεγάλαι Πολυκράτους εὐτυχίαι ἐτελεύτησαν, ὡς Ἄμασις ἐμαντεύσατο.

**79.** 1. ὁ θάνατος μόνος δώρων οὐκ ἐρᾷ. 2. οἱ Ἀθηναῖοι μάλιστα ἐτίμων Ἀθηνᾶν καὶ Ποσειδῶνα. 3. μὴ γέλα ἐπὶ τοῖς δυστυχέσιν. 4. τὸ ἀγαθὸν ἀεὶ νικῴη. 5. σίγα ἢ κρείττονα σιγῆς λέγε. 6. μὴ ταῦτα πράττε, ἃ τοῖς ἄλλοις πράτουσιν ἂν ἐπιτιμῴης. 7. πᾶσα ἡ στρατιὰ μεγάλῃ φωνῇ ἐβόα· Ζεὺς σωτὴρ καὶ νίκη.

8. ἡδύ γε δικαίους ἄνδρας εὐτυχεῖς ὁρᾶν.

9. οἱ μὲν ξένοι ἐν ταῖς ὁδοῖς, οἱ δὲ ἀπαίδευτοι ἐν τοῖς πράγμασι πλανῶνται. 10. μὴ κακοῖς ἰῶ κακά. 11. πένητας ὀλίγοι βούλονται κτᾶσθαι φίλους. 12. τὰ τῶν ἡττωμένων χρήματα τῶν νικώντων ἐστίν. 13. οἱ τοὺς παῖδας πρὸς ἀρετὴν πεπαιδευκότες δικαίως ἂν τιμῷντο. 14. φίλους μὴ πάντας κτᾶσθε, ἀλλὰ τους ἀρίστους. 15. ἐὰν τὸν μὲν σοφὸν ἐρωτᾷς, πολλὰ μανθάνεις, ἐὰν δὲ τὸν ἄφρονα ἐρωτᾷς, ἀπατᾷ. 16. οἱ τῶν ἀρίστων Περσῶν παῖδες ἐπι ταῖς βασιλέως θύραις παιδευόμενοι ἤκουον και ἐθεῶντο και τοὺς τιμωμένους ὑπὸ βασιλέως καὶ τοὺς ἀτιμαζομένους. 17. οἱ Ἀθηναῖοι τὸν Ἀναξαγόραν τὸν Περικλέως φίλον ᾐτιῶντο ἀσεβείας. 18. οἱ Ὀλύμπια νενικηκότες ὑπὸ πάντων τῶν Ἑλλήνων ἐτιμῶντο. 19. μὴ ἄλλους ἀδίκως αἰτιῶ, Ἶνα μὴ ὑπ᾽ ἄλλων καὶ αὐτὸς αἰτιᾷ.

20. ὀργὴν ἑταίρου καὶ φίλου πειρῶ φέρειν.

21. Θεμιστοκλῆς νέος ἔτι ὤν, ἔλεξεν, ὅτι αὐτὸν τὸ τοῦ Μιλτιάδου τρόπαιον τοῦ ἐν Μαραθῶνι νικήσαντος οὐκ ἐῴη καθεύδειν. 22. μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα τῷ ἀγαθῷ τὸ κακόν. 23. Θεμιστοκλῆς ἐρωτώμενος, πότερον μᾶλλον ἄν Ἀχιλλεὺς ἢ Ὅμηρος βούλοιτο εἶναι· Σὺ αὐτος, ἔφη, μᾶλον ἂν ἐθέλοις ὁ νικῶν ἐν Ὀλυμπίᾳ ἢ ὁ κηρύττων τοὺς νικῶντας εἶναι•

24. οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος̔ θεός.

## **80.** Verben auf -έω.

1. ᾤκουν οἱ Φοίνικες ἐν πάσῃ τῇ Σικελίᾳ. 2. χρὴ ἕκασον ἄνδρα τάξαι, ὅπου μάλιστ᾽ ἂν ὠφελοίη. 3. ὁ ἄκων ἀδικῶν συγγνώμης ἄξιός ἐ

στιν. 4. τὰς πόλεις δεῖ κοσμεῖν οὐκ ἀναθήμασιν, ἀλλὰ ταῖς τῶν ἐνοικο ύντων ἀρεταῖς. 5. μάλιστ' ἂν εὐδοκιμοίης, εἰ μὴ ταῦτα ποιοίης, ἃ ἄλλ οις ποιοῦσιν ἂν ἐπιτιμοίης. 6. εἴθε πάντες οἱ πολῖται τὴν πατρίδα φιλ οῖεν.

7. ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ.

8. ἅπαντ' ὁ τοῦ ζητοῦντος εὑρίσκει πόνος.

9. μὴ ἐπὶ παντὶ λυποῦ. 10. ἃ φοβῇ, θᾶττον ἂν γίγνοι το ἢ ἃ ἐλπίζεις. 11. οἱ βάρβαροι ὑπὸ τῶν Ἑλλήνων κατεφρο νοῦντο. 12. οἱ ἀγαθοὶ ἄγαν ἐπαινούμενοι μισοῦσι τοὺς ἐπαι νοῦντας. 13. τίμα θεόν, γονέας αἰδοῦ, κακοῖς μὴ ὁμίλει. 14 . τὸν ἀγαθὸν δεῖ πρᾷον εἶναι, ἵνα οἱ ὁμιλοῦντες αἰδῶνται μ ᾶλλον ἢ φοβῶνται. 15. μέγιστος ἔπαινός ἐστιν ἐπαινεῖσθαι ὑπ' ἀνδρὸς πολλάκις ἐπαινουμένου. 16. τὸ κέρδος ἡγοῦ κέ ρδος, ἐὰν δίκαιον ᾖ. 17. τοῖς μὲν ἀδικουμένοις ἀεὶ βοηθεῖτ ε, τοὺς δ' ἀδικοῦντας τιμωρεῖσθε. 18. τοὺς προδότας πάντ ες οἱ ἄνθρωποι μισοῦσι καὶ τιμωροῦνται.

19. μιμοῦ τὰ σεμνά, μὴ μιμοῦ κακοὺς τρόπους.

20. μηδεὶς φοβείσθω θάνατον, ἀπόλυσιν κακῶν.

21. πονηρὸν ἄνδρα μηδέποτε ποιοῦ φίλον.

22. φιλοῦντες μὲν φιλούμεθα, μισοῦντες δὲ μισούμεθα. 23. πιστ οὺς μὴ ἡγοῦ τοὺς πάντα, ἃ ἂν λέξῃς ἐπαινοῦντας, ἀλλὰ τοὺς ἐπιτιμῶν τας ἁμαρτήμασιν. 24. οἱ τῶν μὲν ἀδελφῶν ἀμελοῦντες, ἄλλους δὲ φίλο υς ζητοῦντες παραπλήσιοί εἰσι τοῖς τῆς μὲν ἰδίας γῆς ἀμελοῦσιν, τὴν δὲ ἀλλοτρίαν γεωργοῦσιν. 25. πολλοὶ τὰ καλῶς λεχθέντα ἢ πραχθέντα διὰ φθόνον οὐκ ἐπαινοῦσιν.

26. γλώττης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν.

27. τῶν εὐτυχούντων πάντες εἰσὶν συγγενεῖς.

## 81. Verben auf -όω.

1. ὧν τὰς δόξας ζηλοῖς, τας πράξεις μιμοῦ. 2. ὃν ἂν θεὸς φιλῇ, ζημιῷ. 3. Ἀλέξανδρος θεὸς νομισθῆναι ἠξίου. 4. τοὺς νόμους τῆς πόλε ως μάλισ' ἂν ψυχῇ ἀνθρώπου ὁμοιοίης. 5. παρὰ τοῖς Ἕλλησι θέμις ἦν τοὺς δούλους μαστιγοῦν. 6. μὴ δήλου μηδὲ οἰκειοτάτῳ, ἃ ἂν βούλῃ κρύ πτεσθαι. 7. Αἴσωπος ἐρωτηθείς, τί δρᾷ Ζεύς· Τὰ μὲν ὑψηλά, ἔφη, ταπε ινοῖ, τὰ δὲ ταπεινὰ ὑψοῖ. 8. μὴ τῶν ἴσων ἀξιοῦτε τόν τε κακὸν καὶ τὸ ν ἀγαθόν.

9. ζήλου τὸν ἐσθλὸν ἄνδρα καὶ τὸν σώφρονα.

10. μὴ ζημίου τιμούμενος. 11. μὴ θυμοῦ δικαίως ζημι ούμενος. 12. ἡ Ἀττικὴ ὑπὸ τῶν Πελοποννησίων πολλάκις ἐ δῃοῦτο. 13. οἱ Ἕλληνες ἐστεφανοῦντο μέλλοντες θύσειν. 1 4. ὃς ἂν ἄνθρωπον φονεύσῃ, θανάτῳ ζημιούσθω. 15. μὴ ὑπο χώρει τοῖς πάθεσιν, ἀλλ' ἐναντιοῦ. 16. ὑπὸ τῆς ἀνάγκης π άντα δουλοῦται ταχύ.

17. μετθὰ τὴν Τισσαφέρνους προδοσίαν Ξενοφῶν ἔλε ξε πρὸς τοὺς στρατιώτας· Πολλαὶ καὶ καλαί εἰσιν ἡμῖν ἐλπ ίδες σωτηρίας· ἡμεῖς μὲν γὰρ ἐμπεδοῦμεν τοὺς τῶν θεῶν ὅ ρκους, οἱ δὲ πολέμιοι ἐπιωρκήκασί τε καὶ τὰς σπονδὰς λελ ύκασιν· οὕτως εἰκός ἐστι τοῖς μὲν πολεμίοις ἐναντιοῦσθαι τοὺς θεούς, ἡμῖν δὲ βοηθεῖν, οἳ καὶ τοὺς μεγάλους μικροὺς ἂν ποιοῖεν καὶ τοὺς μικρούς, καὶ ἐὰν ἐν τοῖς κινδύνοις ὦσ ιν, ῥᾳδίως ἂν σῴζοιεν, ὅταν βούλωνται.

## 82. Demonstrativ= und Relativpronomen.
Gr. § 65 u. 66.

1. τοῦτο μὲν σὺ λέγεις, παρ᾽ ἡμῶν δὲ ἄγγελλε τάδε. 2. ἥδε ἡ ἡμέρα μεγάλων κακῶν αἰτία ἐστιν πᾶσι τοῖς Ἕλ λησιν. 3. οἳ ἂν τῶν τιμῶν μετέχειν βούλωνται, τούτους καὶ τοὺς κινδύνους δεῖ ὑπομένειν. 4. τούτων ἄτιος Χαιρεφῶν ὅ δε. 5. ζηλωτοί εἰσιν οὗτοι, ὧν ὁ βίος ἐλεύθερός ἐστιν μεγά λων συμφορῶν. 6. ἐὰν ταύτην τὴν μάχην νικῶμεν, πάνθ᾽ ἡ μῖν πεποίηται. 7. οὐδεὶς ἐν τῇ γήρᾳ ὁ αὐτός ἐστιν, ὅσπερ ἦν ἐν τῇ νεότητι. 8. οὐκ ἂν φιληθείης ὑπὸ τούτων, οὓς ἐδο ύλωσας. 9. εὐτυχοίης καὶ τυγχάνοις, ὧν ἐπιθυμεῖς. 10. οὓς αὐτοὶ πονηροτάτους νομίζετε πάντων, τούτοις πεπιστεύκα τε. 11. ἐν παντὶ πράγματι τούτοις μάλιστα πεισόμεθα, οὓς ἂν βελτίστους νομίσωμεν. 12. ὃς ἂν μὴ ἐναντιῶται ταῖς τ ῶν πονηρῶν ἐπιβουλαῖς, τοῦτον ὀρθῶς ἂν αἰτιῴμεθα(αἰτιώμ εθα, opt. αἰτιοίμεθα) ἢ κακίας ἢ δειλίας.

13. ἃ ψέγομεν ἡμεῖς, ταῦτα μὴ μιμώμεθα.

## 83. Korrelation der Pronomen und Adverbien.
Gr. § 68. 69 -- Regel 17.
(τίς, ποῖος, πόσος -- ποῦ, πότε, πῶς.)

1. πῶς ταῦτα παύσεται; 2. ἦν ποτε χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. 3. τὰ ἄστρα ὥσπερ ὀφθαλ μοί εἰσι τοῦ οὐρανοῦ. 4. πότε, ὦ ἄνδρες Ἀθηναῖοι, πότε τ ὰ δέοντα ποιήσητε; 5. ἧκεν Αἰσχίνης λέγων, ὅτι πεπεικὼς εἴη τὸν Φίλιππον ποιεῖν πάντα, ὅσα συμφέρει τῇ πόλει. 6. ὁπόταν προσήκῃ πρᾶξαι, φείδου λόγων. 7. οἱ πολῖται φρον τιζόντων, ὁποῖα τῇ πόλει συμφέρει. 8. οὗτός ἐστιν ἄριστος οἶκος, ἐν ᾧ τοιοῦτός ἐστι ὁ δεσπότης δι᾽ ἑαυτόν, οἷος ἔξ ω διὰ τὸν νόμον. 9. οὐ λογίζεσθε, τίνων καὶ ποίων καὶ πόσ ων εὐεργεσιῶν θεοὶ ἡ μῖν αἴτιοί εἰσιν; 10. Ἆγις ὁ βασιλε ὺς ἔλεγε τοὺς Λακεδαιμονίους οὐ τοῦτ᾽ ἐρωτᾶν, ὁπόσοι εἰ σὶν οἱ πολέμιοι, ἀλλ᾽ ὅπου εἰσίν. 11. πρῶτος ἡμῖν τετάχθω (act. perf. imp. τεταχέτω, τεταχὼς ἔστω, pas. aor. coni.1.p. sing.ταχθῶ, pas. aor. imp. 3. τετάχθω) ὁ τοιοῦτος ἀνήρ. 12. ὅσῳ δυνατώτερός τίς ἐστιν, τοσούτῳ ῥᾷον εἰς ὕβριν πίπτει. 13. ὅπου ἄν τις ἑαυτὸν τά ξῃ, ἡγησάμενος βέλτιον εἶναι, ἢ ὑπ᾽ ἄρχοντος ταχθῇ, ἐντα ῦθα δεῖ κινδυνεύειν ἐσχάτους κινδύνους. 14. τὸ θεῖον τοσο ῦτον καὶ τοιοῦτόν ἐστιν, ὥστε ἅμα πάντα ὁρᾶν καὶ πάντ᾽ ἀκούειν καὶ πανταχοῦ παρεῖναι.

## 84. Wiederholung der Pronomen. Rest der Korrelation.
Gr. § 61— 69.

1. τίς αἴτιος ἦν τῆς ἥττης, ᾗ ἐν τῇ Σικελίᾳ ὅλον τὸ τῶν Ἀθηναίων στράτευμα διεφθάρη. 2. τῆς αὐτῆς ἡμέρας περὶ τῶν αὐτῶν ἐνίοτε οὐ ταὐτὰ ἐψηφίσαντο οἱ Ἀθηναῖοι. 3. Ἀστυάγης τῶν ἐν Μήδοις πάντων δεσπότην ἑαυτὸν πεποίηκεν. 4. τίνι συμβουλεύοντι ἄσμενοι πειθόμεθα; (τούτῳ) οὗ τὰ ἔργα οὐ διαφέρει τῶν λόγων. 5. τοιούτους ἡμᾶς δεῖ γίγνεσθαι περὶ τοὺς ἄλλους, οἵους ἀξιοῦμεν τοὺς ἄλλους περὶ ἡμᾶς εἶναι. 6. ὅτῳ ἂν ἀρέσκῃ ἄλλους βλάψαι, βλάψει ἑαυτόν. 7. ἅττα χαλεπὰ ἦν πάσχειν, ταῦτα ἡδέα ἐστὶν τῇ μνήμῃ.

8. τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ᾽ οἱ θεοί.

9. μηδέποτε δοῦλον ἡδονῆς σαυτὸν ποίει.

10. πότερον ἀγαθὸν λέγεις, τὸν δίκαιον ἢ τὸν ἄδικον • ὅμοιός ἐστιν τῷ ἀγαθῷ ὁ μὲν δίκαιος, ὁ δὲ ἄδικος κακῷ. 11. πότερον κακόν ἐστιν ἢ ἀγαθὸν ὁ πόλεμος• θάτερον[5] γάρ ἐστιν. 12. οἱ πολέμιοι ἐθαύμαζον, ὅποι ποτὲ τρέψονται οἱ Ἕλληνες ἢ τί ἐν νῷ ἔχοιεν. 13. ἐπορεύθησαν εἰς Ἀρμενίαν, ὅθεν εὔπορον ἐλέγετο εἶναι, ὅποι τις ἐθέλοι πορεύεσθαι. 14. πορεύσεσθε, ὅπῃ ἂν βούλησθε. 15. τοὺς νεκροὺς ἔθαψαν, ἔνθα ἕκαστοι ἐτελεύτησαν. 16. χρησὸς μὲν στρατιώτης τοιοῦτός ἐστιν οἷος γενναῖος κύων· ὀξὺν γὰρ δεῖ αὐτῶν ἑκάτερον εἶναι πρὸς αἴσθησιν καὶ ἐλαφρὸν πρὸς τὸ διώκειν.

## Formbildung der Verba liquida.

### 86. Futur des Aktivs und Mediums. Gr. § 83, 1. 3.

1. ὁμονοοῦντες ἰσχυροὶ μενοῦμεν. 2. τίς ἄμεινον τοῦ σοφοῦ κρινεῖ τὰ δίκαια• 3. ὀργῆς λήξας κερδανεῖς ἀμείνω. 4. πολέμου οὐκ ἀρξόμεθα, ἀρξαμένους δὲ ἀμυνούμεθα. 5. τὴν πατρίδα ἐλπίζομεν εἰς τὸ μέλλον ἐλευθέραν νεμεῖσθαι. 6. εὐφρανεῖ σε πλοῦτος πολλοὺς εὐεργοῦντα. 7. εἰ μὴ φιλάξεις τὰ μικρά, ἀποβαλεῖς τὰ μείζονα. 8. μετὰ τὴν νίκην Λύσανδρος εἰς Λακεδαίμονα τοὺς τὴν νίκην ἀγγελοῦντας ἔπεμψεν ἐπὶ τῆς κρατίστης νέως. 9. ἀναμενοῦμεν, ἃ παραγγελεῖ ὁ στρατηγός.

10. δοῦλον τὸν ἐσθλὸν τοὔνομ᾽ οὐ διαφθερεῖ,
πολλοὶ δ᾽ ἀμείνους εἰσὶν τῶν ἐλευθέρων.

11. ἀεὶ λέγων τἀληθὲς οὐ σφαλῇ ποτε.

### 87. Aorist des Aktivs und Mediums. Gr. § 83, 2. 3.

1. ἐπειδὰν ἅπαντα ἀκούσητε, κρίνατε. 2. ἡ τύχη διένειμεν ἄλλοις ἄλλα δῶρα. 3. Νικίας πάντα τὸν χρόνον οὐδὲν ἔσφηλε τὴν πόλιν. 4. κρεῖττόν ἐστι μικρὰ εὖ ἢ μεγάλα κακῶς περᾶναι. 5. Παρμενίδης πρῶτος τὴν γῆν ἀπέφηνε σφαιροειδῆ. 6. εἴθε κακῶς διαφθείρειαν τοὺς κακοὺς οἱ θεοί. 7. Ἀθηνᾶ περιέστειλεν Ἡρακλέα πέπλῳ, ὃν αὐτὴ ὑφήσατο. 8. ὅτῳ δοκεῖ ταῦτα, ἀνατεινάτω τὴν χεῖρα. 9. τοὺς Τρῶας δέκα ἔτη ἀνδρείως ἀμυναμένους οὐ βία, ἀλλὰ δόλος ἔφηλεν. 10. Ἀλέξανδρος ἀποθνήσκων οὐκ ἀπεφήνατο, τίνι καταλεῖποι τὴν ἀρχήν. 11. Θησοὺς τὴν ἐκ Τροζῆνος εἰς Ἀθήνας φέρουσαν ὁδὸν καθῆραι λέγεται λῃστῶν καὶ

---

[5] ἕτερον

κακούργων. 12. οὐδένα χρὴ μακαρίζειν, ἕως ἂν βιοτεύῃ, ἀλλ᾽ ἀναμεῖν
αι, ἕως ἂν τὸν βίον περάνῃ. 13. τίς οὐκ ἂν οἰκτίρειεν ἐσθλὸν ἄνδρα ἀτ
υχοῦντα; 14.
Δημῶναξ ἐρωθήσοντός τινος ποῖα νομίζοι εἶναι τὰ ἐν Ἅιδου·
Μεῖνον, ἔφη, ἑως ἂν αὐτὸς θεάσωμαι, κἀκεῖθεν ἀγγελῶ σοι. 15. κλεινὸ
ν τὸ ἀπόφθεγμα τοῦ Γοργοῦς, τῆς Κλεομένους θυγατρός· Διαφθερεῖ σε,
ὦ πάτερ, ὁ ξένος, ἐὰν μὴ ὡς τάχιστα ἐκ τῆς οἰκίας ἀποστείλῃς. 16.
ἐπιτρέπω τῷ θεῷ κρῖναι περὶ ἐμοῦ, ὅπῃ ἐμοὶ ἄριστα ἂν εἴη. 17. πολλάκ
ις μικροὶ λόγοι ἔσφηλαν ἤδη καὶ ἀνώρθωσαν βρωτούς.
18. τόλμα σύ, κἄν τι τραχὺ νείμωσιν θεοί.

## **88.** Die uebrigen Tempora. Gr. § 84. (Mit Ausschluss der starken Tempora.)

1. ἠγγέλθη ὑπὸ Λυσάνδρου τὰ πεπραγμένα διὰ Θεοπόμπου τοῦ
Μιλησίου εἰς Λακεδαίμονα. 2. ὁ Νεῖλος ποταμὸς νήσους ἔχει πολλὰς
διεσπαρμένας. 3. τοὺς στρατιώτας ἄριστα ἐσταλμένους εἰς τὸν πόλεμο
ν στελοῦμεν. 4. ἀπέσταλκά σοι, Δημόνικε, τόνδε τὸν λόγον δῶρον. 5. π
ολλάκις τῇ τύχῃ ἐσφάλμεθα. 6. Ξέρξης τὸ τοῦ Λεωνίδου σῶμα λελυμασ
μένον ἀνασταυρῶσαι ἐπέταξεν. 7. Ὀρέστης, μεμιασμένος τῷ τῆς μητ
ρὸς αἵματι, ἐν Δελφοῖς ἐκαθάρθη ὑπ᾽ Ἀπόλλωνος. 8. μὴ ἀναμείνωμεν
, ἕως ἂν ἀγερθῶσιν οἱ πολέμιοι, ἀλλ᾽ ἔτι διεσπαρμένοις αὐτοῖς ἐπιχει
ρῶμεν. 9. ὁ τὴν ψυχὴν κεκαθαρμένος κάλλιστα κεκόσμηται. 10. ὅστις
τῶν Ἀθηναίων φανθείη ἐλαίαν ἐξορύξας, διακοσίαις δραχμαῖς ἐζημιο
ῦτο. 11. Φίλιππος πολλὰς ἐλάμβανε πόλεις, ὧν τοὺς προστάτας νομῇ χ
ρημάτων διεφθάρκει. 12. τοῖς Ἕλλησιν ἔθος ἦν, εἴ τις τῶν συγγενῶν τ
ελευτήσειε, κεκάρθαι τὰς κόμας. 13. Πηνελόπη τρία ἔτη ἐντάφιον ὑφαί
νουσα τῷ Λαέρτῃ οὐκ ἐπέρανε τὸ ἔργον· νυκτός γὰρ ἔλυε τὰ ἡμέρας ὑ
φασμένα. 14. ἀγγελθείσης τῆς ἐν τῇ Σικελίᾳ συμφορᾶς οἱ Ἀθηναῖοι πο
λὺν μὲν χρόνον οὐκ ἠπίστουν τοῖς ἀγγείλασιν, ἔπειτα δὲ ὀργισθέντες
ἐκάκιζον τοὺς μάντεις, λέγοντες ἐσφάλθαι ὑπ᾽ αὐτῶν.

## **Starke Tempora.**

## **89.** Starker Aorist Aktiv und Medium. Gr. § 85.

1. αἴσχιστον ἦν Σπαρτιάτῃ τὴν τάξιν ἀπολιπεῖν και ἐκ τῆς μά
χης φυγεῖν. 2. οἱ Ἕλληνες εἰσηγάγοντο θεοὺς ξένους ἐξ ἀλλοτρίων ἐθ
νῶν. 3. Πέρσαις νόμος ἦν, ὁπότε βασιλεὺς ἀποθάνοι, ἀνομίαν εἶναι πέ
ντε ἡμερῶν. 4. Δωριεὺς στρατευόμενος πρὸς τοὺς Συβαρίτας ἔπεσεν, ὡ
ς ἐνομίζετο, ὅτι ταῦτα παρὰ τὰ μεμαντευμένα ἐποίησεν. 5. μήτ᾽ εὐτυ
χῶν τράπῃ πρὸς ῥᾳθυμίαν μήτ᾽ ἀτυχῶν πρὸς ἀθυμίαν. 6. τίνα ἂν γῆν
μᾶλλον φιλοῖμεν ἢ τὴν πατρίδα τεκοῦσαν ἡμᾶς καὶ θρέψασαν• 7. μὴ
ἀναμείνωμεν, ἕως ἂν ἐμβάλωσιν οἱ ἡμέτεροι πολέμιοι εἰς τὴν ἡμετέρα
ν χώραν, ἀλλὰ πορειθῶμεν ὡς τάχιστα εἰς τὴν πολεμίαν. 8. μαχομένου
ς δεῖ σκοπεῖν ἡμᾶς, ὅπως ὡς ἐλάχιστα μὲν τραύματα λάβωμεν, ὡς ἐλά
χιστα δὲ σώματα ἀνδρῶν ἀποβάλωμεν.
9. Ξέρξης τοσαῦτα ἔθνη εἰς τὴν Ἑλλάδα ἤγαγεν, ὥστε τὰ ὕδ
ατα ἐπέλιπε πινόμενα. 10. διενείμαντο τὴν ἀρχὴν τῶν πάντων ὁ Ζεὺς
καὶ Ποσειδῶν καὶ Πλούτων, ἐπεὶ παρὰ τοῦ πατρὸς παρέλαβον. 11. ἀφικ
όμενοι πρὸς τὸν Ἀράξην ποταμὸν ηὕρισκον οἱ μύριοι κώμας πολλὰς μ
εστὰς σίτου καὶ οἴνου· ἐνταῦθα ἔμειναν ἡμέρας τρεῖς καὶ ἐπεσιτίσαντ
ο. 12. ἐπεὶ οἱ πελτασταί, ὑπερβαλόντες τὰ ὄρη, ἔβλεψαν τὰς σκηνάς,
τοὺς ὁπλίτας οὐκ ἔμειναν, ἀλλ᾽ ἀνακραγόντες φερόμενοι ἦλθον ἐπὶ τὸ
στρατόπεδον. 13. δῆλον ἦν τοῖς Ἕλλησιν, ὅτι νικῶντες μὲν οὐδένα ἂν
κατακάνοιεν, ἡττηθέντων δὲ αυτῶν οὐδεὶς ἂν λειφθείη. 14. τῶν Περσῶ

ν ἐγγὺς προσελθόντων Θεμιστοκλῆς ἔπεισε τοὺς Ἀθηναίους ἀπολιπόν τας τὴν πόλιν καταφυγεῖν εἰς τὰς ναῦς, παῖδας δὲ καὶ γυναῖκας ἀγα γέσθαι εἰς τὰς νήσους. 15. Καυσιανοί, Σκυθικὸν ἔθνος, τοὺς μὲν γιγν ομένους θρηνοῦσι, τοὺς δ' ἀποθανόντας μακαρίζουσιν.

16. ποῖ νῦν φύγωμεν, ποῖ τραπώμεθ', ὦ φίλοι.

17. μὴ σπεῦδε πλουτεῖν, μὴ γένῃ πένης ταχύ.

## 90. Starker Aorist und starker Futur Passiv. Gr. § 86.

1. Διόνυσος ἐν Νάξῳ, ὡς Νάξιοι λέγουσιν, ἐτάφη. 2. πρὸ τοῦ ἔ ργου βουλεύου, ἵνα μὴ μωρὸς φανῇς. 3. ἡ ψυχὴ τοῦ σώματος ἀπαλλαγε ῖσα οὐ διαφθαρήσεται. 4. τῇ ἀδικαίᾳ οὐδεὶς ἂν τοσοῦτο βλαβείη, ὅσον ὁ ἀδικήσας. 5. οἱ τῇ τύχῃ καὶ ταῖς ἐλπίσιν ἄγαν πεπιστευκότες ταχέω ς ἂν σφαλεῖεν. 6. ὁ θεὸς τοῖς Θηβαίοις ἐμαντεύσατο, ὅτι οὐκ ἀπαλλαγ ήσοιντο τῆς Σφιγγός, πρὶν ἄν τις λύσῃ τὸ αἴνιγμα. 7. Γοργίας ὁ Λεον τῖνος πρεσβευτὴς εἰς Ἀθήνας ἀποσταλεὶς πολλὰ ἐθαυμάσθη ἐπὶ τῇ πε ιθοῖ. 8. Πτολεμαίου τοῦ βασιλέως κατασφαγέντος ὑπὸ Γαλατῶν πᾶσα ἡ τῶν Μακεδόνων δύναμις κατεκόπη. 9. οἱ Ἕλληνες ἡττηθέντες ἐν Χειρ ονείᾳ οὐκέτι ἐτόλμησαν ἀντιτάξασθαι τοῖς Μακεδόσιν, ἀλλὰ διεσπάρη σαν εἰς τὰς ἑαυτῶν πόλεις.

10. σοφίας ὁ καρπὸς οὔποτε φθαρήσεται.

11. Ἀλέξανδρος, ἐὰν ἄριστος φανῇ στρατηγός, οὐκ ἄριστος φα νήσεται ἄνθρωπος. 12. συλλεγέντων τῶν Ἑλλήνων εἰς τὸν Ἰσθμὸν κ αὶ ψηφισαμένων ἐπὶ Πέρσας στρατεῦσαι Ἀλέξανδρος ἡγεμὼν ἐκηρύχθ η. 13. τῶν Θηβῶν διαρπασθεισῶν καὶ κατασκαφεισῶν ὑπ' Ἀλεξάνδρου οἱ Ἀθηναῖοι τοὺς φυγόντας τῶν Θηβαίων ὑπεδέξαντο εἰς τὴν ἑαυτῶν πόλεις. 14. Εὐμένης ἀποθνήσκων ἔλεξεν οὐ σφαλῆναι πολεμίων ἀρετῇ, ἀλλὰ φίλων ἀπιστίᾳ. 15. οἱ ἡμέτεροι ἱππεῖς, φυγόντες ἤδη, αὐτίκα τρ απόμενοι (τρεπόμενοι? τραπέντες?) τὴν πολεμίαν τάξιν ἐτρέψαντο.

16. ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.

17. ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί·
αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γιγνώσκομεν.

## 91. Starkes Perfekt. Gr. § 87.

1. πολλοὶ συγγραφεῖς τὰς Ἀλεξάνδρου τοῦ μεγάλου πράξεις ἀν αγεγράφασιν. 2. θαυμάζομεν, ὅσα βεβούλευσθε καὶ ὅσα πεπράγατε. 3. Ευθύδημος πολλὰ σοφῶν ἀνδρῶν γράμματα συνήχει. 4. λέγουσιν οἱ παρ ' ἡμῖν ῥήτορες Φίλιππον πρὸς βασιλέα πεπομφέναι περὶ συμμαχίας. 5.

105. 1. Ἃ μὴ κατέθου, μὴ λάμβανε. 2. Ἐφόδιον εἰς τὸ γῆρας ἀεὶ κατατίθεσο (imp). 2.